eul_wid: awi-aa

*Πυθαίνετος ὁ ἱστορικός* · Pythaenetus the Historian

# Aeginetica: Fragments on Aegina

*Ἀποσπάσματα περὶ Αἰγίνης*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἀττική* Attic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-5 ΑΙΓΙΝΗΤΙΚΑ. E LIBRO PRIMO. Tzetzes ad Lyc.

1 175: Ἡ αἴγινα πρότερον Οἰνώνη ἐλέγετο ἀπὸ Οἰνώνης τῆς Βουδίωνος θυγατρὸς, καθά φησι Πυθαίνετος ἐν τῷ πρώτῳ τῶν Αἰγινητικῶν. Schol.

2 Pind. Nem. VI, 63: [ Βασσίδαισι ν ] Ὁ Δίδυμός φησι· Προσήκει γράφειν Βουδίδαι· γενέσθαι γάρ τινα Βουδίωνα ἐν Αἰγίνῃ, ἀφ' οὗ κατάγεσθαι γενεὰν τὴν Βουδιδῶν· μνημονεύειν δέ φασι (φησι?) τοῦ Βουδίωνος Πυθαίνετον ἐν πρώτῳ Αἰγινητικῶν γράφοντα οὕτως· «Περὶ δὲ ταῦτα τούτων λεγομένων λέγεται Βουδίωνα τυγχάνειν διηνεγμένον πρὸς Οἰνώνην τὴν ἑαυτοῦ θυγατέρα.» Schol. [5]

3 Apoll. Rh. IV, 1712: Νῆσος ἡ Ἱππουρὶς πλησίον Θήρας. Μνημονεύει δὲ αὐτῆς καὶ Τιμοσθένης, καὶ Πυθαίνετος ἐν πρώτῳ Περὶ Αἰγίνης. Sch.

4 Pind. Ol. IX, 107: Πυθαίνετος δὲ Διὶ συνελθοῦσαν Αἴγιναν γεννῆσαι Αἰακὸν καὶ Δαμοκράτειαν, ἣν γαμηθῆναι Ἄκτορι ἐν Θεσσαλίᾳ καὶ τεκεῖν Μενοίτιον· ὕστερον δὲ τοῦτον εἰς Ὀποῦντα ἐλθεῖν. Συγγενὴς γὰρ ὑπῆρχε τοῦ Λοκροῦ. Schol. [5]

5 Pind. Nem. V, 81: Παρ' Αἰγινήταις Δελφίνιος μεὶς ἄγεται Δελφινίου Ἀπόλλωνος ἱερὸς, ἐν ᾧ ἴσως φησὶ γεγενῆσθαι τὰ Νέμεα. Πεφιλῆσθαι γάρ φησι τὸν μῆνα τοῦτον ὑπὸ τοῦ Ἀπόλλωνος. Καὶ εἴη ἂν ὁ μὴν οὗτος, ἐν ᾧ θύουσιν Αἰγινῆται Ἀπόλλωνι οἰκιστῇ καὶ δωματίτῃ, καθά φησι Πυθαίνετος. E LIBRO TERTIO. [5]

6 Athenaeus XIII: Πυθαίνετος ἐν τρίτῳ Περὶ Αἰγίνης Περίανδρόν φησιν, ἐξ Ἐπιδαύρου τὴν Προκλέους θυγατέρα Μέλισσαν ἰδόντα, Πελοποννησιακῶς ἠσθημένην (ἀναμπέχονος γὰρ καὶ μονοχίτων ἦν, καὶ ᾠνοχόει τοῖς ἐργαζομένοις), ἐρασθέντα γῆμαι. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org